

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΗΣ ΑΝΑΚΟΜΙΔΗΣ ΤΩΝ ΛΕΙΨΑΝΩΝ
## ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ

# ΘΕΟΔΩΡΑΣ ΤΗΣ ΒΑΣΙΛΙΣΣΗΣ

ΣΥΝΤΑΧΘΕΙΣΑ ΥΠΟ ΤΟΥ ΑΡΤΗΣ ΚΑΙ ΠΡΕΒΕΖΗΣ
ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΣΕΡΑΦΕΙΜ ΤΟΥ ΒΥΖΑΝΤΙΟΥ

**ΜΗΝΙ ΜΑΡΤΙΩ Κ΄**

**ΜΝΗΜΗ ΤΗΣ ΑΝΑΚΟΜΙΔΗΣ ΤΩΝ ΛΕΙΨΑΝΩΝ ΤΗΣ ΟΣΙΑΣ ΜΗΤΡΟΣ ΗΜΩΝ ΘΕΟΔΩΡΑΣ**

(Ἐπεκράτησεν ἔκπαλαι νὰ ψάλλεται τῇ μεθεπομένῃ Κυριακῇ τῆς Πεντηκοστῆς. (Β΄. Ματθαίου)

# ΕΝ ΤΩ ΕΣΠΕΡΙΝΩ

**Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς΄ καὶ ψάλλομεν Στιχηρὰ προσόμοια τῆς Ἁγίας. Ἦχος δ΄.**

**Ὡς γενναῖον ἐν Μάρτυσιν.**

Θαυμαστῶς ἀνευρέθησαν ἐν τῇ Ἄρτῃ τὰ λείψανα, Θεοδώρα ἄνασσα παναοίδιμε, ἀνορυχθέντος τοῦ τάφου Σου, ὡς ἥλιος στίλβοντα, τὴν δι᾽ ἀνεύρεσιν ἡμῖν πανηγύρεως πρόξενον ἀπειργήσατο, εὐφροσύνης πληροῦντα θεοπνεύστου, ἰαμάτων τ᾽ ἐμπιπλῶντα τοὺς εὐσεβῶς Σε γεραίροντας. (Δίς).

Ἀνακτόροις μὲν πρότερον, Θεοδώρα Βασίλισσα, ἐν ἀσκήσει ἔπειτα Σὺ διέλαμψας· νῦν δὲ εὑρέσει λειψάνων σου, φαιδρά, παναοίδιμε, τὰς ἀκτῖνας ἐφ᾽ ἡμῖν, ἐκ τοῦ τάφου ἐφήπλωσας· διὸ πρέσβευε ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι τοὺς ἐν πίστει προσκυνοῦντας αὐτὰ καὶ πόθῳ ὑμνοῦντάς Σε. (Δίς).

Τοὺς τιμῶντας Σε ᾄσμασι, Θεοδώρα πανένδοξε, καὶ τοὺς ἑορτάζοντας μετὰ πίστεως, τὴν τῶν λειψάνων σου εὕρεσιν, τῆς βλάβης ἐκλύτρωσε καὶ παγίδων τοῦ ἐχθροῦ καὶ κινδύνων καὶ θλίψεων, καὶ ἀπάλλαξον τῶν πταισμάτων, λιταῖς σου εὐπροσδέκτοις, ταῖς πρὸς τὸν κοινὸν Σωτῆρα καὶ δόξης τούτους ἀξίωσον. (Δίς).

**Δόξα. Ἦχος β΄.**

Συντρέχει ποιμὴν καὶ τὸ ποίμνιον χαίρει φαιδρῶς ἑορτάζει εὐσεβὴς πιστῶν χορεία, ἐπὶ τῇ κομιδῇ σήμερον τῶν ἁγίων λειψάνων Σου, Θεοδώρα πανέντιμε, καὶ γεραίροντές Σε πάντες θεοπρεπῶς, ἐκτενῶς καθικετεύουσι· μνήσθητι ἡμῶν τῶν τέκνων σου, μῆτερ ὁσία, καὶ πρέσβευε τῷ Λόγῳ τοῦ Πατρὸς Χριστῷ τῷ Θεῷ ἡμῶν πᾶσαν πνευμάτων ἀκαθάρτων διασκεδάσαι κακόνοιαν καὶ ῥῦσαι ἡμᾶς ἐκ παντοίων νόσων καὶ κινδύνων καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

### Καὶ νῦν. Θεοτοκίον. Ἦχος α΄.

Τὴν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην ὑμνήσωμεν, Μαρίαν τὴν Παρθένον, τῶν Ἀσωμάτων τὸ ᾆσμα καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα· αὕτη γὰρ ἀνεδείχθη οὐρανὸς καὶ ναὸς τῆς Θεότητος· αὕτη, τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε καὶ τὸ Βασίλειον ἠνέωξε. Ταύτην οὖν κατέχοντες τῆς πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω λαὸς τοῦ Θεοῦ καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθρούς, ὡς παντοδύναμος.

### Εἰς τὴν λιτὴν ψάλλομεν τὰ παρόντα Ἰδιόμελα. Ἦχος α΄.

Ὢ τῆς στερρᾶς καὶ ἀδαμαντίνου σου ψυχῆς, Θεοδώρα θεοδόξαστε! Σὺ γὰρ πρὸς τὸν Θεὸν καὶ πλάστην σου ἀνένδοτον ἔχουσα τὴν ἔφεσιν, κόσμον παρεῖδες καὶ πάντα τὰ ἡδέα αὐτοῦ. Ὅθεν Θείῳ Πνεύματι ἐνισχυομένη, δεινὰ παντοῖα ὑπερεπήδησας, καὶ τῆς ἀκρότητος τῶν ἀρετῶν ἐν μετουσίᾳ γέγονας, πρὸς τὸν ποθούμενον καταφθάσαι σπουδάζουσα. Αὐτὸν ἱκέτευε παναοίδιμε, ὑπὲρ τῶν πίστει τιμώντων τὰ ἱερά σου λείψανα, καὶ τὴν σὴν γεραιρόντων μνήμην πανεύφημε.

### Ἦχος β΄.

Ἐπὶ τῇ Σῇ πανηγύρει καὶ τῇ ἀνευρέσει τῶν λειψάνων Σου, Θεοδώρα πανένδοξε, σήμερον Ἀγγέλων πληθὺς συγχορεύει ἡμῖν καὶ δοξάζει ἐκτενῶς τὸν ὑπεράγιον Κύριον, τὸν Σὲ δεόντως δοξάσαντα. Αὐτῷ ὁσία πρέσβευε, εἰρήνην καὶ ἔλεος ἡμῖν δωρήσασθαι τοῖς προσκυνοῦσιν ἐν πίστει τὰ ἱερά σου λείψανα.

### Ἦχος ὁ αὐτός.

Ἡ τῶν θείων ὀστέων Σου χάρις, Θεοδώρα πανεύφημε, γένοιτο ἡμῖν, σεπτὸν ἰατρεῖον, ἐν νόσοις παντοίαις καὶ δεινοῖς· αἱ

ἀκουσίθεοι δέ Σου εὐχαί, ἱλαστήριον πᾶσι καί πρὸς Θεὸν ὁδὸς καὶ ὁδηγός, τοῖς ἐν πίστει τιμῶσι καὶ εὐλαβῶς προσκυνοῦσι τὴν θείαν θήκην τῶν λειψάνων σου.

**Δόξα. Ἦχος δ΄.**

Ἡ πόλις Ἄρτα σήμερον πανηγυρίζει μυστικῶς, νέαν στολὴν ἐνδυσάμενη, ὡς βασιλικὴν τινα πορφύραν καὶ βύσσον, τὴν εὕρεσιν τῶν πανσέπτων λειψάνων τῆς πανενδόξου Θεοδώρας. Αὐτὴν γὰρ ἐκθρεψαμένη, εὐσεβείᾳ καὶ ἀρετῇ Χριστῷ προσήγαγε, δῶρον εὐπρόσδεκτον. Διὸ ὁ ταύτην δοξάσας καὶ στέφει στεφανώσας ἀμαραντίνῳ καὶ ἡμῖν κατάπεμψον, ταῖς πρεσβείαις αὐτῆς τὸ μέγα ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον.**

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Εἰς τὸν Στίχον ψάλλομεν, Στιχηρὰ προσόμοια.**
**Ἦχος δ΄. Ὅτε ἐκ τοῦ Ξύλου.**

Δεῦτε Ἐκκλησίας οἱ υἱοί, δεῦτε εὐσεβεῖς οἱ τῆς Ἄρτης νῦν τὰ προκείμενα λείψανα τιμήσωμεν καὶ προσκυνήσωμεν, εὐλαβῶς ἀνακράζοντες, Μῆτερ Θεοδώρα, Βασιλὶς Πανένδοξε, ῥῦσαι ὑμᾶς πειρασμῶν, νόσων καὶ δεινῶν ἀδοκήτων, ταῖς πρὸς τὸν Σωτῆρα λιταῖς σου καὶ ὑγείαν βράβευσον τοῖς δούλοις σου.

**Στίχ.** ***Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.***

Ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς πάντες οἱ Ἀρταῖοι προθύμως νῦν καταστέψωμεν τὴν ἀειμακάριστον μητέρα πάντων ἡμῶν Θεοδώραν τὴν ἄνασσαν, ἧς καὶ προσκυνοῦντες λείψανα τὰ πάνσεπτα, πόθῳ τιμήσωμεν· νέμει γὰρ πλουσίως τοῖς πᾶσι, ταύτῃ προσπελάζουσι χάριν, ταῖς λιταῖς αὐτῆς Θεὸς ὁ Ὕψιστος.

**Στίχ. *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθηνε τὰ διαβήματά μου.***

Μνήμην τὴν ἐτήσιον πιστοὶ ἀνακομιδῆς τῶν πανσέπτων τῆς πανοσίας Μητρὸς δεῦτ᾽ ἐπιτελέσωμεν χαρμονικῶς τῶν ὀστῶν, Θεοδώρας δεόμενοι, ὅπως ταῖς πρεσβείαις ὁ οἰκτίρμων Κύριος, αὐτῆς παράσχῃ ἡμῖν, ἄρσιν τῶν δεινῶν καὶ ποιήσῃ τῆς τῶν Οὐρανῶν Βασιλείας, μετόχους γενέσθαι καὶ λαμπρότητος.

**Δόξα. Ἦχος πλ. β΄.**

Η τῶν ἔργων μου λαμπάς, Θεοδώρα πανεύφημε, πέφυκε στυγνή, καὶ πρὸς ὑπάντησιν δειλιῶ τῶν ἱερῶν λειψάνων σου ἀλλ᾽ αὐτή με ὁδήγησον καὶ τρίβους μοι εὔθυνον, καιρὸν μετανοίας παρέχουσα μοι καὶ τῶν πολυπλόκων δεινῶν τὴν ζάλην κατεύνασον καὶ σῶσον με εἰς τέλος, μῆτερ ταῖς πρεσβείαις σου, ὅπως γεραίρω ἀεὶ τὴν θείαν κομιδὴν τῶν ὀστέων σου καὶ προσκυνῶ μετὰ πόθου ταῦτα καὶ πίστεως.

**Καὶ νῦν. Θεοτοκίον.**

Ο ποιητής καὶ λυτρωτής μου, Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθών, ἐμὲ ἐνδυσάμενος, τῆς πρώην κατάρας τὸν Ἀδὰμ ἠλευθέρωσε· διὸ σοι, Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως τὸ Χαῖρε τοῦ Ἀγγέλου· Χαῖρε, Δέσποινα, προστασία καὶ σκέπη καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

**Νῦν ἀπολύεις. Τὸ Τρισάγιον.**

**Ἀπολυτίκιον.**
**Ἦχος γ΄. Θείας πίστεως.**

Κατεπλούτισας τὴν πόλιν Ἄρταν καὶ ἐστήριξας τοὺς Ὀρθοδόξους, ὢ δῶρον θεῖον, Θεοδώρα Πανεύφημε, καθαγιάσασα πάντων τὰ πνεύματα, συγκομιδῇ τῶν ἁγίων λειψάνων σου·

ὦ Βασίλισσα, Χριστὸν τὸν Θεὸν ἱκέτευε δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Ἕτερον Ἀπολυτίκιον.**
**Ποιηθὲν ὑπὸ τοῦ προηγουμένου Γαβριὴλ ἱερομονάχου Παπαδαίου.**

**Εἰς Ἦχον γ΄.**

Χαίρει καὶ σεμνύεται ἡ πόλις Ἄρτης καὶ ἀγάλλεται ἐν τῇ εὑρέσει τῶν σεπτῶν Θεοδώρας Βασιλίσσης τὰ λείψανα, πρὸ αἰώνων ἐν γῇ, ἀφανῆ γὰρ ἦσαν καὶ ἄδηλα. Ἤδη δὲ τρανῶς βοῶσα, τῶν Ὀρθοδόξων ἡ ὁμήγυρις· ὦ Μῆτερ ὁσία, Χριστὸν τὸν Θεὸν ἱκέτευε, ἵνα σώσῃ τὴν ποίμνην του ἐκ παντοίων κινδύνων ὡς εὐεργέτης καὶ φιλάνθρωπος.

**Καὶ νῦν .**

Σὲ τὴν μεσιτεύσασαν...

# ΕΝ ΤΩ ΟΡΘΡΩ.

**Εἰς τὴν α΄ στιχολογίαν. Κάθισμα, ἦχος α΄.**
**Τὸν τάφον σου, Σωτήρ.**

Κακίαν τῶν ἐχθρῶν, φανερῶν κατελθοῦσα, ἐν ἔτεσι πολλοῖς ὑπὸ γῆν κεκρυμμένην, ἡμῖν πεφανέρωσας, Θεοδώρα ἀοίδιμε, θεραπεύουσα τὰ τῶν ψυχῶν ἡμῶν πάθη, καὶ τοῖς σώμασι, τῇ τῶν ὀστῶν σου προσψαύσει, ὑγείαν βραβεύουσα.

**Θεοτοκίον.**

Μαρία τὸ σεπτὸν τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς πεπτωκότας εἰς χάος δεινῆς ἀπογνώσεως καὶ πταισμάτων

καὶ θλίψεων· σὺ γὰρ πέφυκας ἁμαρτωλῶν σωτηρία καὶ βοήθεια καὶ κραταιὰ προστασία καὶ σῴζεις τοὺς δούλους σου.

**Μετὰ τὴν β' στιχολογίαν. Κάθισμα, ἦχος α΄. Χορὸς ἀγγελικός.**

Εὐφράνθη μυστικῶς τῶν Ἀρταίων ἡ πόλις, τῇ ἀνακομιδῇ τῶν σεπτῶν σου λειψάνων, καὶ ταῦτα περιστείλασα, ὡς χρυσὸν πολυτάλαντον ἐκτιμᾷ πιστῶς καὶ προσκυνεῖ μετὰ πόθου, ὡς ἰάματα, ταῖς σαῖς λιταῖς Θεοδώρα, ἀφθόνως παρέχοντα.

**Θεοτοκίον.**

Μητέρα σε Θεοῦ ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ ἔχομεν ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Πανάμωμον.

**Μετὰ τὸν Πολυέλεον. Κάθισμα, ἦχος δ΄. Ἐπεφάνης σήμερον.**

Τοὺς Ἀρταίους ἅπαντας, ὦ Θεοδώρα, τοὺς τὴν σὴν γεραίροντας θερμῶς ἀνεύρεσιν τῶν σῶν λειψάνων θείων, ἀπάλλαξον, ταῖς σαῖς πρεσβείαις κινδύνων καὶ θλίψεων.

**Θεοτοκίον.**

Εἰς τὰ σπλάγχνα, Δέσποινα, τῶν οἰκτιρμῶν σου καὶ ὑπὸ τὴν σκέπην σου τὴν μητρικὴν καταφυγών, ἀναβοῶ σοι· πρεσβείαις σου τῆς αἰωνίου με ῥῦσαι κολάσεως.

**Ἅπασα ἡ τάξις τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου τῆς Κυριακῆς, ἐν ᾗ ψάλλομεν ἰδιόμελον, ἦχος β΄. Ἐπὶ τῇ σῇ πανηγύρει. (ζήτει εἰς τὴν Λιτήν, τοὺς δὲ κανόνας ζήτει εἰς τὴν ἀκολουθίαν τῆς ἐτησίου μνήμης τῆς Ὁσίας, Μαρτίου ια΄). Μετὰ τὴν γ΄ Ὠδήν.**

## Κάθισμα.
### Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἀσκητῶν ὑπερβᾶσα τὴν βιοτὴν ἀληθῶς, παρὰ Θεοῦ ἀπολαύεις αἰωνιζούσης μονῆς καὶ τοῦ αὐτοῦ τῆς αἴγλης ἐμπεπλήρωσαι· διὸ μὴ παύσῃ τοῦτ᾽ αὐτὸν δυσωποῦσα ἐκτενῶς, πανένδοξε Θεοδώρα, ὑπὲρ τῶν σὲ ἀνυμνούντων καὶ προσκυνούντων τὰ λείψανα.

### Θεοτοκίον.

Ἀπειρόγαμε Νύμφη Θεογεννήτρια, ἡ τῆς Εὔας τὴν λύπην χαροποιήσασα, ἀνυμνοῦμεν οἱ πιστοὶ καὶ προσκυνοῦμέν σε, ὅτι ἀνήγαγες ἡμᾶς ἐκ τῆς ἀρχαίας ἀρᾶς· καὶ νῦν δυσώπει ἀπαύστως, πανύμνητε Παναγία, εἰς τὸ σωθῆναι ἡμᾶς.

## Μετὰ τὴν ϛ΄ Ὠδήν, Κοντάκιον.
### Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐκ τῆς γῆς ἐκλάμψασα ἡλίου δίκην, Ἄρταν πᾶσαν ἔλαμψας ταῖς τῶν λειψάνων σου βολαῖς καὶ τοὺς πιστοὺς ἐστερέωσας, ὦ Θεοδώρα ἀνάκτων τὸ καύχημα.

### Ὁ Οἶκος.

Ὡς ῥόδον ἐν τοῖς γηΐνοις σπλάγχνοις τῶν λειψάνων σου ἀνθούντων, ὀσμὴν ὀρθοδοξίας ἐπήγασας τῇ ἀνακομιδῇ αὐτῶν ἐν τῇ παναρχαίᾳ πόλει Ἄρτῃ, Θεοδώρα, Βασιλὶς πανένδοξε· κόσμου τὰ ὡραῖα ἀρνησαμένη οὐ μικρὰς κακουχίας ὑπέμεινας· τὸν σύζυγον ἀνομήσαντα ἤλεγξας καὶ ἐσωφρόνησας, τὸν Βασιλέα καὶ Δεσπότην τῶν ἁπάντων ἀγαπήσασα. Διὰ τοῦτο οὐρανῶν τὰ κάλλη ὁρῶσα καὶ ἀπολαμβάνουσα ἤδη,

ἐκτενῶς τὴν θερμήν σου ἱκεσίαν προσάγαγε τῷ Βασιλεῖ τῶν αἰώνων, ὑπὲρ ἡμῶν τῶν τέκνων σου, τῶν τὴν ἀνάμνησιν τελούντων τῆς θείας τῶν σεπτῶν λειψάνων σου ἀνακομιδῆς, ὦ Θεοδώρα, τῶν ἀνάκτων τὸ καύχημα.

**Τὸ ὑπόμνημα τοῦ Μηναίου· εἶτα τὸ παρόν.**

Τῇ εἰκοστῇ Μαρτίου μηνός, μνήμην ἐπιτελοῦμεν τῆς εὑρέσεως καὶ ἀνακομιδῆς τῶν ἱερῶν λειψάνων τῆς ἐν Ἄρτῃ βασιλευούσης ὁσίας Μητρὸς ἡμῶν μακαρίας Θεοδώρας τῆς βασιλίσσης.

*Τὴν γῆν ὀρύξας ὡς δικέλλῃ τῷ λόγῳ*
*θησαυρὸν φέρω Θεοδώρας κεκρυμμένον.*

Ταῖς αὐτῆς ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός,
ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ἐξαποστειλάριον.**
**Γυναῖκες ἀκουτίσθητε.**

Ἀγάλλου Ἄρτα πόλεων Ἠπείρου ἡ πανάρχαιος, ὡς τῆς Ἁγίας σου Μητρὸς σου καὶ πολιούχου τὸ σκῆνος ἀπολαύουσα σήμερον, τῆς πρεσβευούσης πάντοτε, ὅπως ρυσθῇς τῶν κινδύνων, θεοφεγγοῦς Θεοδώρας, καὶ ἐπικρότει ἐν ὕμνοις.

**Ἕτερον. Ὁ Οὐρανὸν τοῖς ἄστροις.**

Φερώνυμος ἐδείχθης, δῶρον Θεοῦ Θεοδώρα, ἀγάπῃ καὶ τῇ ἀσκήσει νενικηκυῖα τὸν κόσμον· ὅθεν καὶ δῶρον τὸ στέφος ἐδέξω παρὰ Ὑψίστου.

**Θεοτοκίον.**

Ὁ γλυκασμὸς τῶν ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, Χριστιανῶν ἡ προστάτις Παρθένε μῆτερ Κυρίου, ἀντιλαβοῦ μου καὶ ῥῦσαι τῶν αἰωνίων βασάνων.

### Εἰς τοὺς Αἴνους, Στιχηρὰ προσόμοια. Ἦχος δ΄.

### Ἔδωκας σημείωσιν.

Οἶκον σου τὸν πάνσεπτον ἐκ πολεμίων ἀπήλλαξας καὶ τὸν τάφον ἀνέπαφον, τὴν Ἄρταν δ' ἐτίμησας τὰ σεπτὰ ὀστᾶ σου, ἤδη Θεοδώρα, ἀποδιδοῦσα εἰς αὐτήν, ἐξ ὧν πηγάζει πηγὴ ἰάσεων· ἐν Ἄρτῃ γὰρ ἀσκήσασα τὸν δυσμενῆ ἐταπείνωσας, καὶ θεόθεν ἀπείληφας στέφος ὄντως ἀμάραντον. (Δίς).

Ἴνδαλμα σὺ γέγονας τῆς εὐσεβίας πανόλβιε, ἐγκρατείας ἀσκήσεως, καὶ πάσης ἀοίδιμε ἀρετῆς δοχεῖον, μῆτερ Θεοδώρα, καταλιποῦσα εὐθαρσῶς τῶν ἀνακτόρων δόξαν τὴν πρόσκαιρον· διὸ καὶ τὰ σὰ λείψανα Θεὸς πρεπόντως ἐδόξασε καὶ ἡμῖν ταῦτα δέδωκε, θησαυρὸν ὡς πολύτιμον. (Δίς).

Σήμερον ἀβρύνεται πόλις ἡ Ἄρτα κατέχουσα τὴν σορὸν τῶν λειψάνων σου, ὡς κρήνην ἐμβρύουσα τῶν θαυμάτων ῥεῖθρα, μῆτερ Θεοδώρα, καταπλουτίζουσα αὐτὴν τῇ ἀκενώτῳ πηγῇ ἰάσεως, τὰς νόσους ἀπελαύνουσαν καὶ λοιμικὴν τὴν βροτοφθόρον, ἐκ τῶν πίστει πανεύφημε, ἐν ᾠδαῖς γεραιρόντων σε.

### Δόξα. Ἦχος πλ. δ΄.

Ἀντλήσατε ἄνθρωποι, πηγῆς βρυούσης νάμα σωτήριον ἐξ ἀΰλων ὀχετῶν, διὰ λειψάνων ἱερῶν τῆς σεπτῆς Βασιλίδος, Θεοδώρας τῆς μητρὸς ἡμῶν, ὧν τὴν συγκομιδὴν καὶ ἀνεύρεσιν τιμῶντες, ἐνθέως βοήσωμεν· Θεοδώρα πανένδοξε, συγγενοῦς οἰκειότητος μὴ ἐπιλανθάνουσα, μνημόνευε καὶ ἡμῶν τῶν τέκνων σου καὶ πρέσβευε τῷ Σωτῆρι καὶ Θεῷ εἰρηνεῦσαι τὸν κόσμον καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

### Καὶ νῦν. Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις...

**Δοξολογία μεγάλη, ἀπόλυσις κτλ. κατ' ἔθος.**

**Εἰς τὸν Ἑσπερινὸν τῆς προηγιασμένης ψάλλομεν μετὰ τὰ συνήθη στιχηρά, τὰ ἐν τῷ στίχῳ προσόμοια, δευτεροῦντες τὸ α΄ καὶ τὸ Δόξα. Καὶ νῦν, Θεοτοκίον ἢ Σταυροθεοτοκίον.**

**Εἰς τὴν θείαν Λειτουργίαν Ἀπόστολος τῆς Ὁσίας ζήτει εἰς τὴν ἀκολουθίαν τῆς ἐτησίου μνήμης καὶ Εὐαγγέλιον τῆς Κυριακῆς.**

**Μεγαλυνάριον ψαλλόμενον εἰς τὰ δίπτυχα.**

Δεῦτε προσκυνήσωμεν ἐν χαρᾷ καὶ ἀμπέπτῳ πόθῳ, Θεοδώρας τῆς εὐκλεοῦς λείψανα, αἰτοῦντες παρὰ Θεοῦ δοθῆναι ἡμῖν αὐτῆς πρεσβείαις δεινῶν τὴν λύτρωσιν.

**Ἕτερον, ψάλλομεν ἐν Σερβίοις.**

Ἄνθος τῶν Σερβίων ἐρατεινόν, χαίροις, Θεοδώρα, ἡ σφραγὶς τῶν Βασιλισσῶν, χαίροις τῶν Ὁσίων τὸ καύχημα τὸ μέγα, χαίροις ἡ προστασία τῶν ἀνυμνούντων σε.




79. Χαλκογραφία τῆς Ἁγίας στὴν πρώτη ἔκδοση τῆς Ἀκολουθίας της (1772).